# Α.

## Νεοφύτου πρότερον μοναχοῦ καὶ Ἐγκλείστου, περὶ τῶν κατὰ τὴν χώραν Κύπρον σκαιῶν (1).

Νεφέλη καλύπτει ἥλιον, καὶ ὁμίχλη ὄρη καὶ βουνούς, δι᾽ ὧν ἀπείργηται θάλψις καὶ φωταυγὴς ἡλίου ἀκτὶς χρόνῳ τινί· εἴργει δὲ καὶ ἡμᾶς δώδεκα χρόνους ἤδη νεφέλη καὶ ὁμίχλη ἀλλεπαλλήλων δεινῶν τῶν τῇ χώρᾳ συμβεβηκότων. Κρατηθείσης μὲν γὰρ τῆς Ἱερουσαλὴμ ὑπὸ τοῦ ἀθέου Σαλαχαντί, τῆς δὲ (2) Κύπρου ὑπὸ Ἰσαακίου τοῦ Κομνηνοῦ, μάχαι λοιπὸν καὶ πόλεμοι, ταραχαὶ καὶ ἀκαταστασίαι, λαφυραγωγίαι καὶ δειναὶ συναντήσεις, τὴν γῆν, ἐν ᾗ οἱ δηλωθέντες ἦρξαν, κατεκάλυψαν νεφέλης καὶ ὁμίχλης πλέον· ἰδοὺ γὰρ ὁ ζωηφόρος τοῦ Κυρίου ἡμῶν τάφος, καὶ τὰ λοιπὰ ἅγια ἐδόθησαν τοῖς κυσὶ Μουσουλμάνοις, διὰ τὰς ἁμαρτίας ἡμῶν· καὶ δακρύει ἐν τῇ τοιαύτῃ συμφορᾷ πᾶσα ψυχὴ φιλόθεος. Ταραχθέντα δὲ καὶ τὰ ἔθνη, καὶ βασιλεῖαι κλιθεῖσαι, κατὰ τὸ γεγραμμένον, ὁ Ἀλαμανίας φημί, καὶ ὁ Ἐγκλινίας, καὶ πᾶν ἔθνος σχεδόν, κεκίνηνται (3) ὑπὲρ τῆς Ἱερουσαλήμ, καὶ ἤνυσαν οὐδέν· οὐδὲ γὰρ ηὐδόκησεν ἡ πρόνοια κύνας ἐξεῶσαι, καὶ λύκους ἀντεισάξαι.

Καὶ ἰδοὺ ιβ΄. χρόνους ἐπὶ τὸ χεῖρον τὰ κύματα κορυφοῦνται· ἔτι τε καὶ αὐτὸς ὁ υἱὸς ἡμῶν ὁ πνευματικός, πρὸς ὃν δηλαδὴ ταῦτα ἐγράφομεν, τὰ δεινὰ μὴ ὑποφέρων βλέπειν τε καὶ ἀκούειν, καὶ ἐκ μέρους αὐτῶν πάσχειν, μετὰ πολλῆς (4)

(1) Cotel. ἐλλείπει ἡ ἐπιγραφή. (2) καί. (3) κεκίνηται. (4) πολλάς.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ